ἐπίπεδοι ἀριθμοὶ οἱ Α Β· καὶ τοῦ μὲν Α πλευραὶ ἔστωσαν
οἱ Γ Δ ἀριθμοί· τοῦ δὲ Β. οἱ Ε Ζ· καὶ ἐπεὶ ὅμοιοι ἐπίπε-
δοί εἰσιν οἱ ἀνάλογον ἔχοντες τὰς πλευράς, ἔστιν ἄ-
ρα ὡς ὁ Γ πρὸς τὸν Δ. οὕτως ὁ Ε πρὸς τὸν Ζ· λέγω οὖν
ὅτι τῶν Α Β. εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός· καὶ
ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς
τὸν Ε ἢ ὁ Δ πρὸς τὸν Ζ. τουτέστιν ἤπερ ἡ ὁμόλογος
πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν· καὶ ἐπεί ἐστιν
ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Ζ. ἐναλλὰξ ἄ-
ρα ἐστὶν ὡς ὁ Γ πρὸς τὸν Ε. ὁ Δ πρὸς τὸν Ζ. καὶ ἐπεὶ ἐπί-
πεδός ἐστιν ὁ Α πλευραὶ δὲ αὐτοῦ οἱ Γ Δ. ὁ Δ ἄρα τὸν
Γ πολλαπλασιάσας. τὸν Α πεποίηκεν· διὰ τὰ αὐτὰ δὴ
καὶ ὁ Ε τὸν Ζ πολλαπλασιάσας τὸν Β πεποίηκεν. ὁ Δ δὴ
τὸν Ε πολλαπλασιάσας τὸν Η ποιείτω· καὶ ἐπεὶ ὁ Δ τὸν
μὲν Γ πολλαπλασιάσας τὸν Α πεποίηκεν· τὸν δὲ Ε
πολλαπλασιάσας τὸν Η πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ
Γ πρὸς τὸν Ε, οὕτως ὁ Α πρὸς τὸν Η· ἀλλ' ὡς ὁ Γ πρὸς
τὸν Ε. οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ.
οὕτως ὁ Α πρὸς τὸν Η· πάλιν ἐπεὶ ὁ Ε τὸν μὲν Δ πολ-
λαπλασιάσας τὸν Η πεποίηκεν. τὸν δὲ Ζ πολλαπλα-
σιάσας τὸν Β πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν
Ζ. οὕτως ὁ Η πρὸς τὸν Β. ἐδείχθη δὲ καὶ ὡς ὁ Δ πρὸς
τὸν Ζ. οὕτως ὁ Α πρὸς τὸν Η· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν
Η. οὕτως ὁ Η πρὸς τὸν Β. οἱ Α Η Β ἄρα ἑξῆς ἀνάλο-
γόν εἰσιν. τῶν Α Β ἄρα εἷς μέσος ἀνάλογόν ἐστιν ἀ-
ριθμός. λέγω δὴ ὅτι καὶ ὁ Α πρὸς τὸν Β διπλασίονα

λόγον ἔχει ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλο-
γον πλευράν. τουτέστιν ἤπερ ὁ Γ πρὸς τὸν Ε. ἢ ὁ Δ
πρὸς τὸν Ζ. ἐπεὶ γὰρ οἱ Α Η Β
ἑξῆς ἀνάλογόν εἰσιν. ὁ Α
πρὸς τὸν Β διπλασίονα λό-
γον ἔχει ἤπερ πρὸς τὸν Η.
καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Η. οὕ-
τως ὅ τε Γ πρὸς τὸν Ε καὶ ὁ
Δ πρὸς τὸν Ζ. καὶ ὁ Α ἄρα
πρὸς τὸν Β διπλασίονα λό-
γον ἔχει ἤπερ ὅ τε Γ
πρὸς τὸν Ε ἢ ὁ Δ πρὸς τὸν Ζ. ὅπερ ἔδει δεῖξαι:



Δύο ὁμοίων στερεῶν ἀριθμῶν. δύο μέσοι ἀνάλογον
ἐμπίπτουσιν ἀριθμοί· καὶ ὁ στερεὸς πρὸς τὸν ὅμοιον
στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος
πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν· ἔστωσαν δύο
ὅμοιοι στερεοὶ οἱ Α Β. καὶ τοῦ μὲν Α πλευραὶ ἔστωσαν οἱ Γ Δ Ε.
τοῦ δὲ Β οἱ Ζ Η Θ. καὶ ἐπεὶ ὅμοιοι στερεοί εἰσιν οἱ ἀνάλο-
γον ἔχοντες τὰς πλευράς. ἔστιν ἄρα ὡς μὲν ὁ Γ
πρὸς τὸν Δ. οὕτως ὁ Ζ πρὸς τὸν Η· ὡς δὲ ὁ Δ πρὸς
τὸν Ε. οὕτως ὁ Η πρὸς τὸν Θ· λέγω ὅτι τῶν Α Β δύο
μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί· καὶ ὁ Α πρὸς
τὸν Β τριπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν Ζ ἢ
ὁ Δ πρὸς τὸν Η καὶ ἔτι ὁ Ε πρὸς τὸν Θ· ὁ Γ γὰρ τὸν μὲν
Δ πολλαπλασιάσας τὸν Κ ποιείτω· ὁ δὲ Ζ τὸν Η
πολλαπλασιάσας τὸν Λ ποιείτω· καὶ ἐπεὶ οἱ Γ Δ

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo